ϗ ἀναγκαῖα ἡμῖν γε τοῖς τὸ βάρβαρον τῆς Εὐρώπης οἰκοῦσι μέρος προΐσχεται· ϗ ἡ μὲν βίβλος, ὡς ἔπος εἰπεῖν, τοιαύτη.

Ὁ δέ γε ταύτην ξυγγραψάμενος, αὐτὸς μὲν τὸ αὑτοῦ ὄνομα προτάξαι τοῦ συγγράμματος οὐκ ἠξίωσε· φασὶ δὲ πολλοὶ, ὧν εἰσιν οἱ ϗ ἀκριβῶς ἐπίςασθαι διατείνονται ὅτι ἔςιν ἄρα ϗ αὕτη πόνημα τοῦ σοφωτάτου Νικολάου Ἀλεξάνδρου Μαυροκορδάτου, τοῦ ϗ τὴν περὶ τῶν καθηκόντων ἀρίςην βίβλον συνταξαμένου. Εἰς δέ γε τούτου βεβαίωσιν ἐπιφέρουσι μὲν πολλὰ ϗ πιθανὰ, ὃ δέ γε δοκεῖ ἰσχυρότερον, ἐςὶν ὅτι εὕρηται ἐν Βουκουρεςίῳ ἀντίγραφον τῆς βίβλου αὐτῇ χειρὶ τοῦ ἀνδρὸς (ὥς φασιν οἱ ταύτην γινώσκοντες) ἐν πολλοῖς διωρθωμένον τε ϗ ἠλλοιωμένον, ὅπερ ϗ αὐτὸς εἶδον ἐκεῖ ποιούμενος τὰς διατριβὰς, ϗ τὴν



γραφὴν τῶν ἐν αὐτῷ ἀλλοιώσεων ἑτέρᾳ γραφῇ οὐκ ἔθ᾽ ἁπλῶς λεγομένῃ, ὁμολογουμένῃ δὲ εἶναι τἀνδρὸς ἐκείνου παραβαλὼν, ἔδοξα ἰδεῖν ὅτι ἦσαν ἑκάτεραι χειρὸς τῆς αὐτῆς· ἀλλὰ ταῦτα μὲν εἰρήσθω ἐπὶ τοσοῦτον.

Τὸ δὲ Σύγγραμμα διῄρηται μὲν εἰς πλείω τμήματα, ὡς δῆλον ἐκ τῆς ἐπιγραφῆς· ἀλλὰ κακῇ τύχῃ τἀντίγραφα, οἷς ἐγὼ ἐνέτυχον ἐν Βουκουρεςίῳ, τὸ πρῶτον μόνον περιεῖχε τμῆμα, τὸ δὲ λοιπὸν ἢ τὴν ἀρχὴν οὐ συγγέγραπται, ἢ λανθάνει που κείμενον ἐν κιβωτίῳ τινὸς τῶν ἤτοι περὶ ἐλαχίςου τὰ τοιαῦτα ποιουμένων, ἢ αὐτοὺς μὲν ὥσπερ τῶν λοιπῶν πραγμάτων, οὕτω δὴ ϗ τῶν βιβλίων τοῖς σπανίοις κοσμεῖσθαι ϗ πλουτεῖν ἀξιούντων, τὸ δὲ κοινὸν, οὗ χάριν τυγχάνουσι καταβάλλοντες τοὺς πόνους οἱ τοιοῦτοι κοινωφελεῖς ϗ ἐξαί-